Εἰ δέ τις παρὰ ταῦτα ἄλλο τι ἐπιθῡμεῖ πυνθάνεσθαι, τηλεφωνικῶς διαλεγέσθω τῷ Ἀνδρέᾳ εὖ συνιέντι Γερμᾱνιστὶ ἢ Βεάτῃ Ῥοισνῆρι, ἣ ἐν τῇ Γερμᾱνίᾳ πρᾱ́ττει τὰ τοῦ Ἀνδρέα, ἢ πρὸς αὐτοὺς πεμψάτω ἐπιστολάς· ἔστι δὲ ταύτης τῆς γυναικὸς ἡ ἐπιστολικὴ ἐπιγραφὴ ἥδε·

Beate Rösner
Ehrenfeldgürtel 161
D–50823 Köln
Tel. 0221/5 50 35 44
Fax 0221/5 50 74 50

Τέλος δὲ καὶ περὶ χρημάτων ὁ λόγος ἔστω· τοὺς μὲν γὰρ μαθητᾱ̀ς καὶ τοὺς φοιτητᾱ̀ς δέησει τετταρᾱ́κοντα καὶ διακοσίους σίγλους Γερμᾱνικοὺς τελέσαι ὑπὲρ τῆς διδασκαλίᾱς, τοὺς δ' ἄλλους ἐνενήκοντα καὶ διακοσίους. Αὕτη θ' ἡ τῑμὴ περιέχει καὶ τὴν δαπάνην τὴν περὶ τά τε βιβλία τὰ πρὸς τὴν διδαχὴν καὶ τὰ τῶν λέξεων συγγράμμαθ', ἃ προῖκα παραλήψονται οἱ τὰ δίδακτρα καταθέντες.

Ἔτι τοίνυν κἀκεῖν' ἐνθῡμεῖσθε, ὅτι ἕνα ἕκαστον δεήσει τῶν καθ' ἡμέραν δαπανῶν ἐπιμελόμενον τά τ' ἐπιτήδεια καὶ τἆλλα ὠνεῖσθαι καὶ ἕωθεν μὲν ἀγορασάμενον τὰ δέοντα ἐν τῇ κώμῃ εἰσθεῖναι εἰς τὸν ψυκτῆρα τὸν ἐνόντα ἐν τοῖς οἰκίσκοις, ὥστε ἔχειν, ὅθεν δειπνοποιήσει, τὰ δ' αὐτὰ ποιεῖσθαι τὸν ὀρεγόμενον τοῦ ᾱ̓ρίστου· μετὰ δὲ τὰς τοῦ ἡλίου δυσμὰς ἅπαντες ὁμοῦ εἰσίᾱσιν εἰς καπηλεῖόν τι ὡς δειπνήσοντες. Καὶ τούς γε ἐκεῖ διανυκτερεύσοντας δέησει τῷ Ἀνδρέᾳ ἀργύριον διδόναι· προῖκα μὲν διανυκτερεύσουσιν οἱ κοινωνήσοντες τῶν διαλόγων Ἑλληνικῶν ἐν δωματίοις πολυκλίνοις· ἐὰν δέ τις ἐν τοῖς ἄλλοις οἰκίσκοις μέλλῃ, τῑμὴν ἀποδώσει ἐλάττω τριάκοντα ἑκατοσταῖς ἢ ἥτις ἐγράφη ἐν τῷ τῶν τῑμῶν καταλόγῳ.

Ἔτι τοίνυν τελευτῶν δέομαι ὑμῶν τήνδε τὴν προτρεπτικὴν σελίδα διαδιδόντας ἐν ταῖς τῶν εὖ φρονούντων διατρῑβαῖς ἐπάγεσθαι ὡς πλείστους εἰς τὴν ὁμιλίᾱν τὴν τῶν Ἀττικιστῶν.

Ἔγραψε τοῦτον τὸν λόγον ὁ διδάξων τὴν τοῦ ἑλληνίζειν τέχνην Θωμᾶς Ἀλώπεκος, οὗ ἐστιν ὁ τόπος ὁ τῆς οἰκήσεως ὅδε· Thomas Fuchs, Geiststraße 12/601, D–06108 Halle/Saale.

---

**Price of the course:** 177 Dollar
for pupils and students 146 Dollar
(This includes the acquisition of the fitting books and dictionaries.)
12 workingdays à 4 hours.
Special arrangements for people, who wish to participate less than 12 days in this course.

**Attention to a special offer!**
To support the usage of the ancient Greek language, Villas Idyllion will give all people, who participate in this course ...
* accommodation free of charge in rooms with more than one bed.
* a reduction of 30 % for people, who like to choose another kind of staying here.